Ἐπὶ σὲ ἐπεστηρίχθην ἀπὸ γαστρὸς, ἐκ κοιλίας μητρός μου

μὴ σὺ μὲ εἶ σκανδαλίσῃς, ἐν σοὶ ἡ ὑμνῳδία μου διαπαντός.

Ὡσεὶ τέρας ἐγενήθην τοῖς πολλοῖς, καὶ σὺ βοηθὸς μου κραταιός.

Πληρωθήτω τὸ στόμα μου αἰνέσεως, ὅπως ὑμνήσω τὴν δόξαν σου, ὅλην τὴν ἡμέραν τὴν μεγαλοπρέπειάν σου.

Μὴ ἀπορρίψῃς με εἰς καιρὸν γήρους, ἐν τῷ ἐκλείπειν τὴν ἰσχύν μου μὴ ἐγκαταλίπῃς με.

Ὅτι εἶπον οἱ ἐχθροί μου ἐμοί, καὶ οἱ φυλάσσοντες τὴν ψυχήν μου ἐβουλεύσαντο ἐπὶ τὸ αὐτό· λέγοντες· ὁ Θεὸς ἐγκατέλιπεν αὐτὸν, καταδιώξατε καὶ καταλάβετε αὐτὸν, ὅτι οὐκ ἔστιν ὁ ῥυόμενος.

Ὁ Θεός μου, μὴ μακρύνῃς ἀπ' ἐμοῦ· ὁ Θεός μου, εἰς τὴν βοήθειάν μου πρόσχες.

Αἰσχυνθήτωσαν καὶ ἐντραπήτωσαν οἱ ἐπιβουλεύοντες τῇ ψυχῇ μου, στραφήτωσαν εἰς τὰ ὀπίσω καὶ αἰσχυνθήτωσαν οἱ ζητοῦντες τὰ κακά μοι.

Ἐγὼ δὲ διαπαντὸς ἐλπιῶ ὅτι σέ· καὶ προσθήσω ὅτι πᾶσαν τὴν αἴνεσίν σου.

Τὸ στόμα μου ἀναγγελεῖ τὴν δικαιοσύνην σου, ὅλην τὴν ἡμέραν τὴν σωτηρίαν σου· ὅτι οὐκ ἔγνων γραμματείας.

Εἰσελεύσομαι ἐν δυναστείᾳ Κυρίου· Κύριε, μνησθήσομαι τῆς δικαιοσύνης σου μόνου.

Ὁ Θεός μου, ἐδίδαξάς με ἐκ νεότητός μου, καὶ μέχρι τοῦ νῦν ἀπαγγελῶ τὰ θαυμάσιά σου.

Καὶ γῆρος καὶ πρεσβεῖα, ὁ Θεός μου μὴ ἐγκαταλίπῃς με· ἕως ἂν ἀπαγγείλω τὸν βραχίονά σου τῇ γενεᾷ πάσῃ τῇ ἐρχομένῃ.

Τὴν δυναστείαν σου, καὶ τὴν δικαιοσύνην σου, ὁ Θεὸς ἕως ὑψίστων, ἃ ἐποίησας μέγαλεῖα· ὁ Θεὸς, τίς ὅμοιός σοι;

Δόξα Πατρί.
Ὡς ἦν ἐν ἀρχῇ. } καὶ τὰ λοιπά

¶ Τοῦτο φωνήσεις,

Σωτῆρα κόσμου, ὁ διὰ τῆς σαρκὸς καὶ τῆς τιμίας αἵματός σου λυτρωσάμενος ἡμᾶς, σῶσον ἡμᾶς, καὶ βοήθησον ἡμῖν, ταπεινοὺς δούλους σου, Κύριε.

¶ Εἶτα λέξῃ ὁ Λειτουργός.

Κύριε ὁ παντοκράτωρ, ὁ πατὴρ τοῦ ἰσχυροῦ ἐν πᾶσι τοῖς ἐπ' αὐτὸν ἐλπίζουσιν, ᾧ πάντα τὰ ἐν οὐρανῷ, καὶ τῇ γῇ, καὶ ὑποκάτω τῆς γῆς κάμπτει καὶ ὑπακούει, νυῦς καὶ ἀεὶ ἐπιλάμπων σε εἰ, καὶ νοεῖσθαι σε γινώσκει τε καὶ ἐδάσκει ἑαυτὸν, ὅτι οὐκ ὄνομα ὄφθη ἕτερον ὑπὸ τὸν οὐρανὸν τὸ δεδομένον ἐν ἀνθρώποις, ἐν ᾧ δεῖ σωθῆναι καὶ σωτηρίαν λάβοις ἄν, εἰ μὴ μόνον τὸ Ὄνομα τὸ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

¶ Καὶ μετὰ τοῦτο ἱερεύς.

Τῷ δυνάμενός σε τῷ Θεῷ ἐλθεῖν καὶ ὑπαρκέσαι σοι ὅπως ἐπόμενον. Εὐλογήσαι σε Κύριος καὶ φυλάξαι σε. Ἐπιφάναι Κύριος τὸ πρόσωπον αὐτοῦ ὅπως σε, καὶ ἐλεήσαι σε. Ἐπάραι Κύριος τὸ πρόσωπον αὐτοῦ ὅπως σε, καὶ δῴη σοι εἰρήνην. Ἀμήν.

¶ Προσευχὴ ὑπὲρ νοσοῦντος τῆς παιδίσκης.

ΠΑντοδύναμε Θεὸς, καὶ Πάτερ πολυέλεε, οὗ μόνε τὸ διέξοδοι ζωῆς τε καὶ θανάτου, ἐπισκόπησον τὴν ταπείνωσίν σε δεόμεθα, τὸν ἔλεός σε ὀφθαλμοῖς, ὅπως τὸ παιδίον τοῦτο νοῦ ὑγιὲς τῆς νόσε κλιθῇ. Ἐπόησεν αὐτὸ, Κύριε, τῇ σωτηρίᾳ σε, ῥῶσαι αὐτὸ ἐν καιρῷ σοι δυνατὸν ἐκ τῆς σωματικῆς αὐτῆς ὀδύνης, καὶ σῶσον τὸν ψυχικὸν αὐτῆς ἕνεκα τῆς ἐλέες σε. Ὅπως εἰ μὴ σοι δόκει τὰς ἡμέρας αὐτῆς ἐνθάδε ὅλη τ' ζῆν ἀπομηκῦναι, σοὶ βίαιον, καὶ τ' δόξης σε ὀργανον εἶη, διὰ τῆς πίστως σοι δηλοῦσιν, καὶ τῆς ἀναστάσεως ἐν τῷ ἡλικίᾳ αὐτῆς· εἰ δὲ μὴ, ἀναδέξαι αὐτὸ εἰς τὰς αἰωνίας εὐφροσύνας σε μονὰς, ὅπου αἱ ψυχαὶ τῶν ἐν Κυρίῳ Ἰησοῦ κεκοιμημένων τ' αἰδίου ἀναπαύσεως καὶ ἀδιαλείπτου ἀπολαύουσι. Παράσχε τοῦτο, ἃ Κύριε, διὰ τὰ ἐλέες σε· ἐν ἀυτῷ τῷ Υἱῷ σε Κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ, τῷ συζώντι καὶ συμβασιλεύοντί σοι καὶ τῷ ἁγίῳ Πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

¶ Προσευχὴ ὑπὲρ τῆς νοσούσης, μιχθεῖσα ἐλπίδος τῆς ἀναλήψεως φανερωθείσης.

ΠΑ΄τερ οἰκτίρμων, καὶ Θεὸς παντὸς παρακλήσεως, μὴν ἡμῶν βοήθεια ἐν τῷ τ' ἀναγκαίων καιρῷ· σοῖς σε καταφεύγομεν διὰ τὸν ἀντίληψιν ἐπ' αὐτῷ τῆς δέλε σε ἐνθάδε ὑπὸ τὸν χεῖρά σε χειμαζομένε ἐν μεγάλῃ τῇ τ' σώματος ἀσθενείᾳ. Εὐμφάνε βλέπειν ἐπ' αὐτὸν, Κύριε, καὶ ὅσον μᾶλλον ὁ ἔξω ἄνθρωπος διαφθείρεται· κραταίωσον αὐτὸν, δεόμεθά σου, τοσούτῳ μᾶλλον σωτικῶς τῇ χάριτι καὶ τῷ ἁγίῳ Πνεύματί σε καὶ ἐμοῦ ἄθλοθετον. Δόμης αὐτῷ τὸν ἀνυπόκριτον μετάνοιαν ὅπ πᾶσι τοῖς τ' παρελθόντος βίε αὐτῆς πλημμελείαις, καὶ βέβαιον πίστιν εἰς τὸν Υἱόν σε Ἰησοῦ, ὅτι καταργηθῶσι πάσας τὰς ἁμαρτίας αὐτῆς διὰ τ' ἐλέες σε, καὶ τὸν ἄφεσιν αὐτῆς ἐν τῇ ἐυφροσύνῃ σφραγισθῶσι ἐν τ' ἀπολυθέντων αὐτόν, καὶ ἰσότιμον ἀρξει. Οἶδεμὲν, Κύριε, ὅτι ἰσχυρὰ ἱκεσία παρὰ σοὶ ἡ δίκαιος ῥῆμα· καὶ ὅτι, ἐὰν θέλῃς, δύνασαι ἤδη αὐτὸν ἀναστῆσαι, καὶ μακρότερόν τὸν μίτον μὴ ἡμῖν αὐτῷ δοῦναι. Οὐ μὴν ἀλλὰ, ἐκκαθὲ, ὅσον γε παιτιλᾶς φαίνῃ, ὁ καιρὸς τ' ἀναλύσεως αὐτῆς ἐφίστηκε, ἤτων ἐγγύτερον καὶ ἑτοίμοτερον αὐτὸν, δεόμεθά σε, ὡς τὸν τ' θανάτου ὁρᾶν, ὥστε, μὴ τὸν αὐτῆς ἐνθένδε ἐν τῇ εἰρήνῃ καὶ ὡ τῇ χάριτί σε ἀπαλλαγὴν, τὸν ψυχὸν αὐτῆς εἰς τὸν αἰῶνιόν σε βασιλείαν ἀναληφθῆναι, διὰ τ' ἀξίας καὶ ἐντὸς ἔξης Ἰησοῦ Χριστοῦ τ' μονογενῆς Υἱῷ σε, τῆ Κυρίε καὶ Σωτῆρος ἡμῶν. Ἀμήν.

¶ Προσευχὴ ἡ συστατικὴ ὑπὲρ τ' ἤδη μέλλοντος τελευτᾶν.

ΠΑντοκράτωρ Θεὸς, μὴ ἔ τὰ τῶν δικαίων τετελειωμένων πνεύματα τῆς γῆτων δυσμωτηρίων αὐτῶν ἀπολυθέντα ζῆ· Ταπεινῶς σωσ-

σωιζῶμεν τὴν ψυχὴν τὰ τε θέλητε ἀνθρωποι ἡμῖν ποιεῖν, καὶ ἡμεῖς ποιοῦμεν ὑμῖν· οὕτως γὰρ ἐστὶ νόμος καὶ οἱ προφῆται. Μὴ κρίνετε, ἵνα μὴ κριθῆτε· ἐν ᾧ γὰρ κρίματι κρίνετε, κριθήσεσθε· καὶ ἐν ᾧ μέτρῳ μετρεῖτε, μετρηθήσεται ὑμῖν. Τί δὲ βλέπεις τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου, τὴν δὲ ἐν τῷ σῷ ὀφθαλμῷ δοκὸν οὐ κατανοεῖς; Ἢ πῶς ἐρεῖς τῷ ἀδελφῷ σου, Ἄφες ἐκβάλω τὸ κάρφος ἀπὸ τοῦ ὀφθαλμοῦ σου, καὶ ἰδοὺ ἡ δοκὸς ἐν τῷ ὀφθαλμῷ σου; Ὑποκριτά, ἔκβαλε πρῶτον τὴν δοκὸν ἐκ τοῦ ὀφθαλμοῦ σου, καὶ τότε διαβλέψεις ἐκβαλεῖν τὸ κάρφος ἀπὸ τοῦ ὀφθαλμοῦ τοῦ ἀδελφοῦ σου. Μὴ δῶτε τὸ ἅγιον τοῖς κυσὶν, μηδὲ βάλητε τοὺς μαργαρίτας ὑμῶν ἔμπροσθεν τῶν χοίρων, μήποτε καταπατήσωσιν αὐτοὺς ἐν τοῖς ποσὶν αὐτῶν, καὶ στραφέντες ῥήξωσιν ὑμᾶς. Αἰτεῖτε, καὶ δοθήσεται ὑμῖν· ζητεῖτε, καὶ εὑρήσετε· κρούετε, καὶ ἀνοιγήσεται ὑμῖν. Πᾶς γὰρ ὁ αἰτῶν λαμβάνει, καὶ ὁ ζητῶν εὑρίσκει, καὶ τῷ κρούοντι ἀνοιγήσεται. Ἢ τίς ἐστιν ἐξ ὑμῶν ἄνθρωπος, ὃν ἐὰν αἰτήσῃ ὁ υἱὸς αὐτοῦ ἄρτον, μὴ λίθον ἐπιδώσει αὐτῷ; Καὶ ἐὰν ἰχθὺν αἰτήσῃ, μὴ ὄφιν ἐπιδώσει αὐτῷ; Εἰ οὖν ὑμεῖς πονηροὶ ὑπάρχοντες οἴδατε δόματα ἀγαθὰ διδόναι τοῖς τέκνοις ὑμῶν, πόσῳ μᾶλλον ὁ πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς δώσει ἀγαθὰ τοῖς αἰτοῦσιν αὐτόν; Πάντα οὖν ὅσα ἐὰν θέλητε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, οὕτω καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς· οὗτος γάρ ἐστιν ὁ νόμος καὶ οἱ προφῆται. Εἰσέλθατε διὰ τῆς στενῆς πύλης· ὅτι πλατεῖα ἡ πύλη καὶ εὐρύχωρος ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ἀπώλειαν, καὶ πολλοί εἰσιν οἱ εἰσερχόμενοι δι' αὐτῆς· τί στενὴ ἡ πύλη καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωήν, καὶ ὀλίγοι εἰσὶν οἱ εὑρίσκοντες αὐτήν. Προσέχετε ἀπὸ τῶν ψευδοπροφητῶν, οἵτινες ἔρχονται πρὸς ὑμᾶς ἐν ἐνδύμασι προβάτων, ἔσωθεν δέ εἰσιν λύκοι ἅρπαγες· ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς. Μήτι συλλέγουσιν ἀπὸ ἀκανθῶν σταφυλὰς, ἢ ἀπὸ τριβόλων σῦκα; Οὕτως πᾶν δένδρον ἀγαθὸν καρποὺς καλοὺς ποιεῖ· τὸ δὲ σαπρὸν δένδρον καρποὺς πονηροὺς ποιεῖ. Οὐ δύναται δένδρον ἀγαθὸν καρποὺς πονηροὺς ποιεῖν, οὐδὲ δένδρον σαπρὸν καρποὺς καλοὺς ποιεῖν. Πᾶν δένδρον μὴ ποιοῦν καρπὸν καλὸν ἐκκόπτεται καὶ εἰς πῦρ βάλλεται. Ἄρα γε ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς. Οὐ πᾶς ὁ λέγων μοι, Κύριε, Κύριε, εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ἀλλ' ὁ ποιῶν τὸ θέλημα τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς. Πολλοὶ ἐροῦσί μοι ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, Κύριε, Κύριε, οὐ τῷ σῷ ὀνόματι προεφητεύσαμεν, καὶ τῷ σῷ ὀνόματι δαιμόνια ἐξεβάλομεν, καὶ τῷ σῷ ὀνόματι δυνάμεις πολλὰς ἐποιήσαμεν; Καὶ τότε ὁμολογήσω αὐτοῖς ὅτι οὐδέποτε ἔγνων ὑμᾶς· ἀποχωρεῖτε ἀπ' ἐμοῦ οἱ ἐργαζόμενοι τὴν ἀνομίαν. Πᾶς οὖν ὅστις ἀκούει μου τοὺς λόγους τούτους καὶ ποιεῖ αὐτοὺς, ὁμοιωθήσεται ἀνδρὶ φρονίμῳ, ὅστις ᾠκοδόμησε τὴν οἰκίαν αὐτοῦ ἐπὶ τὴν πέτραν· καὶ κατέβη ἡ βροχὴ, καὶ ἦλθον οἱ ποταμοὶ, καὶ ἔπνευσαν οἱ ἄνεμοι, καὶ προσέκοψαν τῇ οἰκίᾳ ἐκείνῃ, καὶ οὐκ ἔπεσε· τεθεμελίωτο γὰρ ἐπὶ τὴν πέτραν. Καὶ πᾶς ὁ ἀκούων μου τοὺς λόγους τούτους καὶ μὴ ποιῶν αὐτοὺς, ὁμοιωθήσεται ἀνδρὶ μωρῷ, ὅστις ᾠκοδόμησε τὴν οἰκίαν αὐτοῦ ἐπὶ τὴν ἄμμον· καὶ κατέβη ἡ βροχὴ, καὶ ἦλθον οἱ ποταμοὶ, καὶ ἔπνευσαν οἱ ἄνεμοι, καὶ προσέκοψαν τῇ οἰκίᾳ ἐκείνῃ, καὶ ἔπεσε· καὶ ἦν ἡ πτῶσις αὐτῆς μεγάλη.

¶ Προσευχὴ καθ' ἡμέραν τοῦ νεωτέρου ἢ τοῦ σωιζομένου διαπαντὸς μνήσεως.

Εὐλογητὸς Κύριε, Πάτερ εἰκτήμων, ὁ Θεὸς παντὸς παρακλήσεως, ὁ μνησθεὶς ἡμῶν, ἐπισκεψάμενος καὶ πολυσπλαγχνίᾳ ὅλῃ τὸν παλαιὸν πορευόμενον τόπον τοῦ θέλειν σε. Κατ' αὐτὸ καταγράφεις πικρὰ, παιδεύσεις δ' αὐτὸ πάσης ἀπὸ ἁμαρτίας. Ἐπ' αὐτὸν ἐπισκοπὴ ὁ σὸς μόνος σε, καὶ ἡ ψυχὴ αὐτοῦ τῆς κρίσεως γένηται. Ἀλλὰ πολυσπλαγχνίᾳ Θεὸς, ὁ τὸ ἀγαθὸν σε λόγον εἰς τὸν ἡμῶν βίον διασκαλίσας γραφάς, ἵνα διὰ τῆς ὑπομονῆς καὶ τῆς παρακλήσεως τῶν ἱερῶν σε γραφῶν ἐλπίδα ἔχωμεν, δοῦναι αὐτῷ τὸν ὁρθὸν ἑαυτῷ, καὶ τὰ ἀπειλῶν καὶ ἐπαγγελίαν σε κατάλιπεν, ὅπως μήτε ὑποβάλῃ τὸν δοῦλόν σοι παῤῥησίαν αὐτοῦ, μήτ' ἐπ' ἄλλο τι πλὸν ὅτι σοὶ αὐτὸν ἔχειν. Δώρησαι αὐτῷ χρόνον καὶ παίδευσιν τῶν πεπεσόντων αὐτῷ, καὶ λύσασι πάντα αὐτῷ, συγκρίσεις. Κάλαμον σωτετεμμένον μὴ κατάξῃς, καὶ λίνον τυφόμενον μὴ σβέσῃς. Μὴ συγκλείσῃς ἐν τῷ δυμῷ τὰ σπλάγχνα τῆς ἐλέους σε· ἀλλ' ἀνάκτησον αὐτῷ ἀγαλλίασιν καὶ εὐφροσύνην, ἵνα ἀγαλλιάσωνται ὀστέα ὑπό σε σωτετεμμένα. Ἔκ τε φόβου τε ἐχθρῶν ῥῦσαι αὐτὸν, ὅτι φάναι τὸ πρόσωπόν σου ἐπ' αὐτὸν, καὶ δοῦναι αὐτῷ εἰρήνην, διὰ τῆς ἀξίας καὶ ἐντεύξεως Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

ΣΤΝΑΞΙΣ ΤΩΝ ΚΑΜΝΟΝΤΩΝ.

¶ Ἐπειδὴ πάντες ἄνθρωποι θνητοὶ πολλοῖς ἀφανίστοις κινδύνοις, νόσοις, καὶ αἰφνιδίοις ἐπιπτώσεσιν ἔνοχοί εἰσι, καὶ διὰ τοῦτο ἄδηλοι ὁπότ' ἂν ἐκ τοῦ βίου τούτου ἀπέλθωσιν· τοιγαροῦν ἵνα πάντοτε ἕτοιμοι ὦμεν ὑποδυῆναι ὅταν δήποτε δόξῃ αὐτῷ τῷ Παντοκράτορι Θεῷ καλέσαι αὐτούς, οἱ Κυδημόνιες πλειονάκις (μᾶλλον δὲ καθημέραν λοιμοῦ ἢ ἄλλου τινὸς φθοροποιοῦ νοσήματος) παρόντες μετὰ σπουδῆς παρηγίσαμεν ὅτι τὸ συγχρῶς μεταχεῖν Κοινωνίας τοῦ σώματος καὶ αἵματος τοῦ Σωτῆρος ἡμῶν τοῦ Χριστοῦ, ὅταν δημοσίᾳ τελεσθῇ ἐν τῇ Ἐκκλησίᾳ· ἵν' ὥσπερ οἱ ποιμένες, ἐὰν αἰφνιδίως τις ἀφίσταται ἢ ὑπεκστῇ ἐκ θείας συμβολῆς, δι' ἐνδειαν αὐτῆς ἥκειν παρακάλουσι. Ἐὰν δέ τις ὁ νοσῶν ἢ χρεία τινὸς τοιαύτης εἴη ἐκ τῆς Ἐκκλησίας, ὅμως ἔχοιεν τὴν Κοινωνίας μεταλαβεῖν ὑπὸ δυσμῆ, τότε καὶ καιρὸν τοῦδε γνωρίσαι τῇ Κυδωνίᾳ, ἅμα καὶ μιμνήσκειν αὐτοὺς ὅτι ἐὰν αὖθις συγκινδυνεύσοντες, (οἷ γὰρ εἰς ἴσον) ἢ τὰ λάχιστον δύο) καὶ ὡρολογικοῦ τοῦ τόπου ὅλου ἐν τῇ τοῦ νοσοῦντος οἰκίᾳ, καὶ σύντων τὸ ὅλον τοῦδε ἐν ὕλῃ παρισκευασμένῃ, ὡς δυνατὸν ἐν ὁ Κυδωνιῶν ἄλλαξε λειτουργεῖν, τελοῦσι τὴν ἁγίαν Συναξιν, ἀπὸ μέρους τοῦ Συλλογέως, Ἐπιστολῆς, καὶ Εὐαγγελίου ὧδε ἐπομένων.

Ἡ Συλλογή.

Παντοκράτωρ αἰώνιε Θεὲ, ὁ τῶν ἀνθρωπίνων γένους δημιουργὸς ὤν, ὁ παιδεύων καὶ ἀγαπῶν, καὶ πάντα ἕνεκα ὧν παρεσκεύακας μαρτύρων· Ἱκετεύομέν σε ἐλέησαι τοῦτον τὸν δοῦλόν σου, ὃν τῇ χειρί σου ἔπλασας, καὶ ἐνεφύσησας, ἵνα τὸ τοῦ σώματος αὐτοῦ δυναμούμενος φίλημά σε ποιήσῃ, τὸν τοῦ σώματος ὑγείαν ἀναλάβῃ, καὶ ὁπλοποιήσῃ τὴν ψυχὴν αὐτοῦ πρὸς λάξῃ τοῦ σώματος, ἄσπιλος σοι παρεστὼς ᾖ, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

¶ Μετὰ ταῦτα φέρειν ὁ Ἱερεὺς τὴν ἄνω διατεταγμένον τύπον τοῦ Σωτῆρος, ἀρχόμενος ἀπὸ τοῦ ῥημάτων τούτων (Ὑμεῖς οἱ ἀληθῶς—)

¶ Ἐν

Ἐπιστ. Ἑβρ. ιε'. Κόμ. ϛ'.

Υἱέ μου μὴ ὀλιγώρει παιδείας Κυρίου, μηδὲ ἐκλύου ὑπ' αὐτοῦ ἐλεγχόμενος. Ὃν γὰρ ἀγαπᾷ Κύριος, παιδεύει, καὶ μαστιγοῖ πάντα υἱὸν ὃν παραδέχεται.

Εὐαγ. Ἰωάν. ιϛ. Κόμ. κδ'.

Ἀμὴν, ἀμὴν, λέγω ὑμῖν, ὅτι ὁ τὸν λόγον μου ἀκούων, καὶ πιστεύων τῷ πέμψαντί με, ἔχει ζωὴν αἰώνιον· καὶ εἰς κρίσιν οὐκ ἔρχεται, ἀλλὰ μεταβέβηκεν ἐκ τοῦ θανάτου εἰς τὴν ζωήν.

¶ Ἐν τῷ καιρῷ μεταδόσεως τῆς παναγίας Μυστηρίων, Ἱερεὺς πρῶτον αὐτὸς μεταλήψεται τὸ Σωμάτιον, ἔπειτα τοῖς τῶν νοσούντων συγκοινωνεῖν διατεταγμένοις, καὶ πάντων ἐχόντων τῶν νοσούντων.

¶ Ἐὰν δέ τις ἢ διὰ τὴν ἀκρότητα τῆς νόσου, ἢ διὰ τὸ μὴ ἐν καιρῷ τῆς Κοινωνίας ὑπομμνησκεσθῆναι, ἢ δι' ἔνδειαν τῶν συγκοινωνούντων, ἢ δι' ἀλλοποιὸν ξύλον ἐμπόδιον, μὴ μεταλάβῃ τῶν Μυστηρίων τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ Χριστοῦ, ὁ Κληρικὸς μὴ συμβιβάσῃ αὐτὸν καὶ ἀναμνήσῃ, ὅτι εἰ δεῖ τῆς ἁμαρτίας αὐτοῦ ἀληθῶς μετανοεῖ, καὶ βεβαίως πιστεύει, ὅτι Ἰησοῦς Χριστὸς ὑπὲρ αὐτοῦ ἀπέθανεν ὅτι τοῦ σταυροῦ ἐσταυρώθη, καὶ τὸ αἷμα αὐτοῦ ἐξέχεεν διὰ τὴν ἀπολύτρωσιν αὐτοῦ, σπανίως μνημονεύων τῆς ἀθυμίας αὐτοῦ, ἵνα δι' αὐτοῦ μετάσχῃ, καὶ τάχιστα γε ἕνεκα τῆς καρδίας εὐχαριστῶν αὐτῷ, ἐάσει καὶ πίῃ τὸ σῶμα καὶ τὸ αἷμα τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ συμφέροντως πρὸς τὴν σωτηρίαν τῆς ψυχῆς αὐτοῦ, καὶ τοῦ σώματος αὐτοῦ τὸ Μυστήριον μὴ λαμβάνῃ.

¶ Ἡνίκα ὁ Ἱερεὺς ἅμα τῇ ὑπηρετούσῃ τὸν νοσοῦντα, τὰ ἁγίας Κοινωνίας αὐτῷ μεταδίδωσιν, ἵνα συντομώτερον ὑποδεχῇ, τὸν τύπον τῆς ὑπηρετούσης κολοβούσῃ ὅλη τὴν Ψαλμῳδίαν (Ἐπικαλοῦμαί σε, Κύριε, ἐλέησόν με) καὶ δοὺς μεταδίδοῖ εἰς τὴν κοινωνίαν.

¶ Ἐν τῷ λοιμῷ, ἢ ἰδρῶτι, ἢ ἄλλῳ ἀντιποιοῦ παρεπιδημοῦντος φοβερισμοῦ ἀῤῥωστήματι, ἢ νόσῳ ὀξυθυμίᾳ, ὅταν δίεις τῆς λοιμικῆς περιῤῥεύσεως, μηδεὶς τῶν Παροίκων ἢ ἐξιέναι πρόθειν ἐν συγκοινωνεῖν τινὶ τῶν ἀδιεξόδων ἐν τῇ οἰκίᾳ αὐτοῦ ποτε, ἕως ὁ νοσῶν σφόδρα τὸν ἐπαιτήσῃ, ὁ Λειτουργὸς μόνος συλλειτουργησάτω αὐτῷ.

ΤΑΞΙΣ ΤΑΦΗΣ ΤΩΝ ΝΕΚΡΩΝ.

¶ Σημειωτέον ἐνθάδε, ὅτι ὁπόταν ἔξοδον ποιῆται τῆς ἐξῆς Αὐτοκλεθέντα πρός τινας ἀδιαπτίστους ἀποθνήσκοντες ἢ ἀφορισθέντας, ἢ αὐτοχείρας.

¶ Ὁ Ἱερεὺς καὶ οἱ Κληρικοὶ ἀπαντῶντες τῷ σώματι ἐν τῇ τοῦ Κοιμητηρίου εἰσόδῳ, καὶ αὐτὸ περιπορεύσαντες, εἴτε εἰς τὴν Ἐκκλησίαν, εἴτε πρὸς τὸ τάφον, λέγουσι, ἅπαξ,

Ἐγώ εἰμι ἡ ἀνάστασις, καὶ ἡ ζωή, ὁ πιστεύων εἰς ἐμέ, κἂν ἀποθάνῃ, ζήσεται· καὶ πᾶς ὁ ζῶν καὶ πιστεύων εἰς ἐμέ, οὐ μὴ ἀποθάνῃ εἰς τὸν αἰῶνα. Ἰωάν. ια. κε, κς.

Οἶδα γὰρ ὅτι ἀπέναντι, ἐστὶν ὁ ἐπιλύειν με μέλλων, καὶ ἐπὶ γῆς ἀναστῆσαι τὸ δέρμα μου τὸ ἀνταντλῆν ταῦτα παρὰ γὰρ Κυρίῳ ταῦτά μοι συντετέλεσται ἃ ἐγὼ ἐμνημόνευσα, ἃ ὁ ἐφεστηκώς μοι ἑώρακα, καὶ ὠσὰλλοτρίως. Ἰώβ. ιθ. Κόμ. κέ, κς, κζ.

Ὅτδὲ εἰσῆλθεν εἰς τὸν κόσμον, ἵνα λοιδορήσῃ τὸν κόσμον, ἵνα ἐξετασθῇ τί δικαίωμα. α' Τιμ. ε'. ζ'. Ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλατο· ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτως ἐγένετο· εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον. Ἰώβ. α'. κέ.

¶ Ἐπειδὴ εἰς τὴν Ἐκκλησίαν παρεκλήθησαν, ἀναγινώσκεται ἡ ἢ ἀμφότερα ἡ τῶν ἱερομήνων.

Ψάλμ. λθ'.

Εἶπα, φυλάξω τὰς ὁδούς μου, τοῦ μὴ ἁμαρτάνειν ἐν γλώσσῃ μου· ἐθέμην τῷ στόματί μου φυλακήν, ἐν τῷ συνστῆναι τὸν ἁμαρτωλὸν ἐναντίον μου.

Ἐκωφώθην καὶ ἐταπεινώθην καὶ ἐσίγησα ἐξ ἀγαθῶν, καὶ τὸ ἄλγημά μου ἀνεκαινίσθη.

Ἐθερμάνθη ἡ καρδία μου ἐντός μου, καὶ ἐν τῇ μελέτῃ μου ἐκκαυθήσεται πῦρ· ἐλάλησα ἐν γλώσσῃ μου,

Γνώρισόν μοι, Κύριε τὸν συντέλειάν μου, καὶ τὸ ἀριθμὸν τῶν ἡμερῶν μου τίς ἐστιν, ἵνα γνῶ τί ὑστερῶ ἐγώ.

Ἰδοὺ παλαιὰς ἔθου τὰς ἡμέρας μου, καὶ ἡ ὑπόστασίς μου ὡσεὶ οὐδὲν ἐνώπιόν σου· πλὴν τὰ σύμπαντα μάταια πᾶς ἄνθρωπος ζῶν· διάψαλμα.

Μέντοι γε ἐν εἰκόνι διαπορεύεται ἄνθρωπος, πλὴν μάτην ταράσσεται· θησαυρίζει, καὶ οὐ γινώσκει τίνι συνάξει αὐτά.

Καὶ νῦν ὁ τίς ἡ ὑπομονή μου; οὐχὶ ὁ Κύριος; καὶ ἡ ὑπόστασίς μου παρ' σοῦ ἐστι· διάψαλμα.

Ἀπὸ πασῶν τῶν ἀνομιῶν μου ῥῦσαί με, ὀνειδισμὸν ἄφρονος ἔθου μοι.

Ἐκωφώθην καὶ οὐκ ἠνοίξα τὸ στόμα μου, ὅτι σὺ εἶ ὁ ποιήσας με. Ἀπόστησον ἀπ' ἐμοῦ τὰς μάστιγάς σου· ἀπὸ τῆς ἰσχύος τῆς χειρός σου ἐγὼ ἐξέλιπον.

Ἐν ἐλεγμοῖς ὑπὲρ ἀνομίας παίδευσας ἄνθρωπον καὶ ἐξέτηξας ὡς ἀράχνην τὴν ψυχὴν αὐτοῦ, πλὴν μάτην ταράσσεται πᾶς ἄνθρωπος· διάψαλμα.

Εἰσάκουσον τῆς προσευχῆς μου, Κύριε, καὶ τῆς δεήσεώς μου, σιώπησον τὰ δακρύσν μου· μὴ παρασιωπήσῃς, ὅτι πάροικος ἐγώ εἰμι ἐν τῇ γῇ καὶ παρεπίδημος, κατὰ πάντας τοὺς πατέρας μου.

Ἄνες μοι, ἵνα ἀναψύξω πρὸ τοῦ με ἀπελθεῖν, καὶ οὐκέτι μὴ ὑπάρξω.

Δόξα Πατρί. } καὶ τὰ λοιπά.
Ὡς ἦν ἐν ἀρχῇ. }

Ψαλμ. ϟ.

Κύριε, καταφυγὴ ἐγένου ἡμῖν ἐν γενεᾷ καὶ γενεᾷ.

Πρὸ τοῦ ὄρη γενηθῆναι, καὶ πλασθῆναι τὴν γῆν καὶ τὴν οἰκουμένην, καὶ ἀπὸ τοῦ αἰῶνος ἕως τοῦ αἰῶνος σὺ εἶ.

Μὴ ἀποστρέψῃς ἄνθρωπον εἰς ταπείνωσιν, καὶ εἶπας, Ἐπιστράφητε υἱοὶ ἀνθρώπων,

Ὅτι χίλια ἔτη ἐν ὀφθαλμοῖς σου, ὡς ἡ ἡμέρα ἡ ἐχθὲς ἥτις διῆλθε, καὶ φυλακὴ ἐν νυκτί.

Τὰ ἐξερεύσματα αὐτῶν ἔτη ἐστέ, τὸ πρωῒ ὡσεὶ χλόη παρέλθοι,

Τὸ πρωῒ ἀνθήσαι καὶ παρέλθοι· τὸ ἑσπέρας ὀκνοπαίσει,

σει, σκληρυνθείη καὶ ξηραν-
θείη.

Ὅτι ἐξελίπομεν ἐν τῇ ὀρ-
γῇ σε, καὶ ἐν τῷ θυμῷ σου
παρεχάθημεν.

Ἔθου τὰς ἀνομίας ἡμῶν ἐνα-
πόν σου, ὁ αἰὼν ἡμῶν εἰς
φωτισμὸν τῷ προσώπῳ σου.

Ὅτι πάντες αἱ ἡμέραι ἡμῶν
ἐξέλιπον, καὶ ἐν τῇ ὀργῇ σου
ἐξελίπομεν· τὰ ἔτη ἡμῶν ὡς
ἀράχνη ἐμελέτων.

Αἱ ἡμέραι τῶν ἐτῶν ἡμῶν
ἐν αὐτοῖς ἑβδομήκοντα ἔτη·
ἐὰν δὲ ἐν δυνατείαις ὀγδοή-
κοντα ἔτη, καὶ τὸ πλεῖον αὐ-
τῶν κόπος καὶ πόνος· ὅτι
ἐπῆλθε πραΰτητι ἐφ' ἡμᾶς,
καὶ παιδευθησόμεθα.

Τίς γινώσκει τὸ κράτος τῆς
ὀργῆς σου, καὶ ἀπὸ τοῦ φόβου τῆς
θυμοῦ σου,

Ἐξαριθμήσασθαι; τῷ δε-
ξιᾷ σου οὕτως γνώρισον, καὶ
τοὺς πεπαιδευμένους τῇ καρ-
δίᾳ ἐν σοφίᾳ.

Ἐπίστρεψον, Κύριε· ἕως
πότε; καὶ παρακλήθητι ἐπὶ
τοῖς δούλοις σου.

Ἐνεπλήσθημεν τὸ πρωΐ ἐλέ-
ους σου, καὶ ἠγαλλιασάμεθα
καὶ ἠφράνθημεν· ἐν πάσαις τα
ἡμέραις ἡμῶν

Εὐφρανθείημεν ἀνθ' ὧν
ἡμερῶν ἐταπείνωσας ἡμᾶς,
ἐτῶν οὓς εἴδομεν κακά.

Καὶ ἴδε ἐπὶ τοὺς δούλους σου
καὶ ἐπὶ τὰ ἔργα σου, καὶ ὁδήγησον
τοὺς υἱοὺς αὐτῶν.

Καὶ ἔστω λαμπρότης Κυ-
ρίου τοῦ Θεοῦ ἡμῶν ἐφ' ἡμᾶς,
καὶ τὰ ἔργα τῶν χειρῶν ἡμῶν
κατεύθυνον ἐφ' ἡμᾶς.

Δόξα Πατρί. } καὶ τὰ λοι-
Ὡς ἦν ἐν ἀρχῇ. } πά.

¶ Τότε ἵσταται τὸ Ἀνάγνω-
σμα παρακληθὲν ἐκ τοῦ
εἰς κεφάλαιον τῆς προτέρας
τοῦ ἁγίου Παύλου πρὸς Κο-
ρινθ. Ἐπιστολῆς.

α' Κορ. εἰς. κ'.

Νυνὶ δὲ, Χριστὸς ἐγήγερ-
ται ἐκ νεκρῶν· ἀπαρχὴ τῶν
κεκοιμημένων ἐγένετο. Ἐπει-
δὴ γὰρ δι' ἀνθρώπου ὁ θάνα-
τος, καὶ δι' ἀνθρώπου ἀνά-
στασις νεκρῶν. Ὥσπερ γὰρ ἐν
τῷ Ἀδὰμ πάντες ἀποθνήσκουσιν, οὕτω καὶ ἐν τῷ Χριστῷ
πάντες ζωοποιηθήσονται. Ἕκα-
στος δὲ ἐν τῷ ἰδίῳ τάγματι·
ἀπαρχὴ Χριστὸς, ἔπειτα
οἱ Χριστοῦ, ἐν τῇ παρουσίᾳ αὐ-
τοῦ. Εἶτα τὸ τέλος, ὅταν
παραδῷ τὴν βασιλείαν τῷ
Θεῷ καὶ Πατρί· ὅταν κατα-
γήσῃ πᾶσαν ἀρχὴν καὶ πᾶσαν
ἐξουσίαν καὶ δύναμιν. Δεῖ γὰρ
αὐτὸν βασιλεύειν ἄχρις οὗ θῇ
πάντας τοὺς ἐχθροὺς ὑπο-
κάτω τῶν ποδῶν αὐτοῦ. Ἔσχατος δὲ ἐκ-
θρὸς καταργεῖται ὁ θάνα-
τος. Πάντα γὰρ ὑπέταξεν
ὑπὸ τοὺς πόδας αὐτοῦ· ὅταν δὲ
εἴπῃ ὅτι πάντα ὑποτέτακται,
δῆλον ὅτι ἐκτὸς τοῦ ὑποτα-
ξαντος αὐτῷ τὰ πάντα. Ὅτα-
ν δὲ ὑποταγῇ αὐτῷ τὰ πάν-
τα, τότε καὶ αὐτὸς ὁ Υἱὸς
ὑποταγήσεται τῷ ὑποτάξαντι
αὐτῷ τὰ πάντα, ἵνα ᾖ ὁ Θε-
ὸς τὰ πάντα ἐν πᾶσιν. Ἐπεὶ
τί ποιήσουσιν οἱ βαπτιζόμε-
νοι ὑπὲρ τῶν νεκρῶν, εἰ ὅλως
νεκροὶ οὐκ ἐγείρονται; τί καὶ
βαπτίζονται ὑπὲρ τῶν νεκρῶν;
Τί καὶ ἡμεῖς κινδυνεύομεν
πᾶσαν ὥραν; Καθ' ἡμέραν
ἀποθνήσκω, νὴ τὴν ὑμετέραν
καύχησιν, ἣν ἔχω ἐν Χριστῷ
Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν. Εἰ
κατὰ ἄνθρωπον ἐθηριομάχησα
ἐν Ἐφέσῳ, τί μοι τὸ ὄφε-

λ῀, εἰ νεκροὶ οὐκ ἐγείρον͂ται; φαγωμεν͂ καὶ πιωμεν͂, αὔριον γὰρ ἀποθνήσκομεν. Μὴ πλανᾶσθε· φθείρουσιν ἤθη χρηστὰ ὁμιλίαι κακαί. Ἐκνήψατε δικαίως, καὶ μὴ ἁμαρτάνετε· ἀγνωσίαν γὰρ Θεοῦ τινες ἔχουσι· πρὸς ἐντροπὴν ὑμῖν λέγω. Ἀλλ' ἐρεῖ τις· Πῶς ἐγείρον͂ται οἱ νεκροί; ποίῳ δὲ σώματι ἔρχονται; Ἄφρον, σὺ ὃ σπείρεις οὐ ζωοποιεῖται, ἐὰν μὴ ἀποθάνῃ. Καὶ ὃ σπείρεις, οὐ τὸ σῶμα τὸ γενησόμενον σπείρεις, ἀλλὰ γυμνὸν κόκκον, εἰ τύχοι, σίτου, ἢ τινος τῶν λοιπῶν. Ὁ δὲ Θεὸς αὐτῷ δίδωσι σῶμα, καθὼς ἠθέλησε, καὶ ἑκάστῳ τῶν σπερμάτων τὸ ἴδιον σῶμα. Οὐ πᾶσα σὰρξ, ἡ αὐτὴ σὰρξ· ἀλλὰ ἄλλη μὲν σὰρξ ἀνθρώπων, ἄλλη δὲ σὰρξ κτηνῶν, ἄλλη δὲ ἰχθύων, ἄλλη δὲ πτηνῶν. Καὶ σώματα ἐπουράνια, καὶ σώματα ἐπίγεια· ἀλλ' ἑτέρα μὲν ἡ τῶν ἐπουρανίων δόξα, ἑτέρα δὲ ἡ τῶν ἐπιγείων. Ἄλλη δόξα ἡλίου, καὶ ἄλλη δόξα σελήνης, καὶ ἄλλη δόξα ἀστέρων· ἀστὴρ γὰρ ἀστέρος διαφέρει ἐν δόξῃ. Οὕτω καὶ ἡ ἀνάστασις τῶν νεκρῶν· σπείρεται ἐν φθορᾷ, ἐγείρεται ἐν ἀφθαρσίᾳ· σπείρεται ἐν ἀτιμίᾳ, ἐγείρεται ἐν δόξῃ· σπείρεται ἐν ἀσθενείᾳ, ἐγείρεται ἐν δυνάμει· σπείρεται σῶμα ψυχικόν, ἐγείρεται σῶμα πνευματικόν· ἔστι σῶμα ψυχικόν, καὶ ἔστι σῶμα πνευματικόν. Οὕτω καὶ γέγραπται· Ἐγένετο ὁ πρῶτος ἄνθρωπος Ἀδὰμ εἰς ψυχὴν ζῶσαν· ὁ ἔσχατος Ἀδὰμ εἰς πνεῦμα ζωοποιοῦν. Ἀλλ' οὐ πρῶτον τὸ πνευματικόν, ἀλλὰ τὸ ψυχικόν, ἔπειτα τὸ πνευματικόν. Ὁ πρῶτος ἄνθρωπος ἐκ γῆς, χοϊκός· ὁ δεύτερος ἄνθρωπος, ὁ Κύριος ἐξ οὐρανοῦ. Οἷος ὁ χοϊκός, τοιοῦτοι, καὶ οἱ χοϊκοί· καὶ οἷος ὁ ἐπουράνιος, τοιοῦτοι καὶ οἱ ἐπουράνιοι. Καὶ καθὼς ἐφορέσαμεν τὴν εἰκόνα τοῦ χοϊκοῦ, φορέσομεν καὶ τὴν εἰκόνα τοῦ ἐπουρανίου. Τοῦτο δέ φημι, ἀδελφοί, ὅτι σὰρξ καὶ αἷμα βασιλείαν Θεοῦ κληρονομῆσαι οὐ δύνανται, οὐδὲ ἡ φθορὰ τὴν ἀφθαρσίαν κληρονομεῖ. Ἰδοὺ, μυστήριον ὑμῖν λέγω· πάντες μὲν οὐ κοιμηθησόμεθα, πάντες δὲ οὐ ἀλλαγησόμεθα. Ἐν ἀτόμῳ, ἐν ῥιπῇ ὀφθαλμοῦ, ἐν τῇ ἐσχάτῃ σάλπιγγι (σαλπίσει γὰρ) καὶ οἱ νεκροὶ ἐγερθήσονται ἄφθαρτοι, καὶ ἡμεῖς ἀλλαγησόμεθα. Δεῖ γὰρ τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι ἀφθαρσίαν, καὶ τὸ θνητὸν τοῦτο ἐνδύσασθαι ἀθανασίαν. Ὅταν δὲ τὸ φθαρτὸν τοῦτο ἐνδύσηται ἀφθαρσίαν, καὶ τὸ θνητὸν τοῦτο ἐνδύσηται ἀθανασίαν, τότε γενήσεται ὁ λόγος ὁ γεγραμμένος· Κατεπόθη ὁ θάνατος εἰς νῖκος. Πῦ σου, θάνατε, τὸ κέντρον; πῦ σου, Ἅδη, τὸ νῖκος; Τὸ δὲ κέντρον τοῦ θανάτου ἡ ἁμαρτία· ἡ δὲ δύναμις τῆς ἁμαρτίας ὁ νόμος. Τῷ δὲ Θεῷ χάρις τῷ διδόντι ἡμῖν τὸ νῖκος διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Ὥστε, ἀδελφοί μου ἀγαπητοί, ἑδραῖοι γίνεσθε, ἀμετακίνητοι, περισσεύοντες ἐν τῷ ἔργῳ τοῦ Κυρίου πάντοτε, εἰδότες ὅτι ὁ κόπος ὑμῶν οὐκ ἔστι κενὸς ἐν Κυρίῳ.

¶ Ὅταν δὲ τὰ τάφων παρέλθωσιν, ἕως ἑτοιμάζεται ὁ νεκρὸς

κηδὲ εἰς τὸ ἀπίδιον τῆς γῆς, ὁ Ἰσραὴλ ἱερεῦ, ἢ ὁ Ἰσραὴλ καὶ οἱ κληρονόμοι αὐτοῦ.

Βροτὸς γὰρ τὸς γυναικὸς, καὶ πλήρης ὀργῆς, ἢ ὥσπερ ἄνθος ἀνθήσαν ἐξέπεσεν· ἀνέδραμε γὰρ ὡσπερ σκιὰ, καὶ ἔμεινε σῦ.

Ἐν μέσῳ σῦ ζωῆς τῆς θανάτου καταδύομαι· παρὰ τίνος βοήθειαν ζητῆσαι ἐγὼ, εἰ μὴ παρὰ σοῦ, Κύριε, ὑπὲρ διαπεπτωκότος ἁμαρτίαις ἡμῶν εἰκότως ὀργισθέντος;

Ἀλλ' ὅμως σὺ, Κύριε Θεὸς παντοκράτωρ, Κύριε παντοδύναμε, ἄγαν καὶ ἐλεημονέστατε Σῶτερ, μὴ παρέλθῃς ἡμᾶς εἰς τὰς πικρὰς τῦ ἅιδου θανάτου ὠδῖνας.

Σὺ γὰρ εἶ, Κύριε τὰ κρυπτὰ τῆς καρδίας ἡμῶν· μὴ κλείσῃς τὰ ἐμφυτεύματα τῶν σῶν χειρῶν ἡμῶν· ἀλλὰ σύσπασον ἡμᾶς, Κύριε παντοκράτωρ, ὁ Θεὸς ὁ ἐλεήσας ἡμᾶς, καὶ ἐλυτρώσατο Σῶτερ, σὺ ὃν δικαίωσας Κριτὰ εἰσάγειν, μὴ ἀφῇς ἡμᾶς ἐν τῇ ἐχάτῃ ὥρᾳ ἡμῶν· δὶ ἀστινασεισῶν τὸν θανάτου ὠδῖνας Σοῦ ἐκπεπτῶν.

¶ Εἶτα μεταξὺ τῦ ὀπίσω ἀλλαξῆς τῆς σωματικῆς τίνων τῆς γλώσσης τινῶν τῆς παριστώτων, ὁ Ἰσραὴλ λέξει.

Ἐπειδήπερ ἐδοξεν τῷ Θεῷ Παντοκράτορι ἐκ μεγάλων ἰλίγξ αὐτῶν τίνων τῶν ἀγαπητῶν ἀδελφῶν ἡμῶν ὧδε τελευτήσαντων· ψυχὰς ὁσίας ἑαυτῶν ἀνιδέχεσθαι, τὸ γοῦν σῶμα αὐτῶν τῇ γῇ ὑποπέπτωμεν· χοῦς τῆς χοὸς ἀποδόντες τῇ ἀποδοῦ, κόνιν τῇ κόνει, ἐν τῇ βεβαίᾳ καὶ σταθερᾷ ἐλπίδι ἐφ' εἰς ζωὴν τὴν αἰώνιον ἀναστάσεως διὰ τῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὃς μετασχηματίσῃ τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν, εἰς τὸ γενέσθαι αὐτὸ σύμμορφον τῆς σωματικῆς δόξης αὐτῦ, κατὰ τὴν ἐνέργειαν τῦ δύνασθαι αὐτὸν καὶ ὑποτάξαι ἑαυτῷ τὰ πάντα.

¶ Εἶτα λεχθήσεται ἡ ἀπόλυσις,

Ἀποκλεῖσθ' ἐγ.

Ἤκουσα φωνῆς ἐκ τῦ οὐρανῦ λεγούσης μοι, Γράψον· Μακάριοι οἱ νεκροὶ οἱ ἐν Κυρίῳ ἀποθνήσκοντες ἀπάρτι· Ναὶ, λέγει τὸ Πνεῦμα, ἵνα ἀναπαύσωνται ἐκ τῶν πόνων αὐτῶν.

¶ Τότε ὁ Ἰσραὴλ λέξει.

Κύριε ἐλέησον.

Χριστὲ ἐλέησον.

Κύριε ἐλέησον.

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, Ἁγιασθήτω τὸ ὄνομά σου· Ἐλθέτω ἡ βασιλεία σου· Γενηθήτω τὸ θέλημά σου· ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς· Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον· Καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, Ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τῦ πονηρῦ. Ἀμήν.

Ἰσραὴλ.

Πάντοτε κύριε Θεὸς, μεθ' ἧς ζῶ τὰ τῆς ἐντολῆς σῦ ὁσίως κομίζων ἐν Κυρίῳ πνεύματα καὶ βοῦ ἐξ ψυχαὶ τῶν πιστῶν, τῦ τῆς σαρκὸς ὄγκου ἀπαλλαγείσαι, χαρᾷ καὶ εὐλογίας ἀπολαύσην· Ἦν κυρίας εὐχαριστῶμέν σοι, ἐφ' ᾧ ἠδοκίσοι τινὶ ἢ ἀδελφὸν ἡμῶν τῆς τῦ ἀμαρτωλῦ κόσμου

σμικτότε παλαιποωρεῖν ἀπαλλάξαι· ἀκολουθῆτές σι, ὅπως ἐν τ̃ ὑμῆς ἀπὸς ἀγαθωσύνῃ σι ἐν τάχει τ̃ τ̃ σπλεκτ̃ σι ἀριθμὸν ἐκπληρωθῆναι, κ̀ τὴν βασιλείαν σι καταστρῶσαι, ἵνα ἡμεῖς σὺν πᾶσι τοῖς ἐν τ̃ ἀληθεί τ̃ ἁγίε Ὀνόματός σι πίςει τελεθυμήσωμεν τ̃ ὁλοκλήρε ἡμῶν τελειώσαι κ̀ μακαριότητ̃ τότε σῶμα κ̀ τὴν ψυχὴν ἐν τ̃ ἀδιαλείπτ̃ καὶ ἁγίᾳ δόξῃ σι ὀπτύχωμεν, διὰ Ἰησοῦ Χρις̃ τ̃ Κυρίε ἡμῶν. Ἀμήν.

Ἡ Σιωπή.

Ἐλεημονίστατε Θεὲ, Πάτερ Κυρίε ἡμῶν Ἰησοῦ Χρις̃, ὃς ὅρων ἀνάστασις κ̀ ζωὴ, εἰς ὃν ὁ πιςεύων, κἂν ἀποθάνῃ, ζήσεται, κ̀ ὁ ζῶν κ̀ πιςεύων εἰς αὐτὸν οὐ μὴ ἀποθάνῃ εἰς αἰῶνα ἀποδήσεται, ὃς κ̀ (δι' ἁγίε Ἀποςόλε αὐτ̃ τ̃ Παύλε) ἐδίδαξε ἡμᾶς μὴ λυπεῖσθαι καθὼς κ̀ οἱ λοιποὶ, οἱ μὴ ἔχοντες ἐλπίδα, διὰ τὸν κοιμωμένων ἐν αὐτῷ. Ταπεινᾶς ἱκετεύομέν σε, Πάτερ, ἐκ τ̃ θανάτ τ̃ ἁμαρτίας εἰς τὴν ζωὴν τ̃ δικαιοσύνης ἀνεγεῖραι ἡμᾶς· ἵνα τ̃ γῆν βίε ἀπαλλαγέντες σὺν αὐτῷ ἀναπαυσώμεθα (ὡς κ̀ τοῦτον τὸν ἀδελφὸν ἡμῶν ἔχειν ἐλπίζομεν) ὅπως τε ἐν τ̃ καθολικ̃ ἀναστάσ ἀναπτύξ Ϛ ἀνυπόσκοτοι εὑρεθῶμεν, κ̀ κομισώμεθα τὴν ἀθλογίαν, ἣν ὁ ἀγιος Ϛ ἀγαπᾶς παντὶ τ̃ ἀγαπῶντι κ̀ φανερωθέντ σε ἀναμορθώσ, λέγων, Δεῦτε οἱ εὐλογημένοι τ̃ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν τὴν ἀπὸ καταβολῆς τ̃ κόσμε. Τοῦτο χάρισαι, ἱκετεύομέν σε, ἐλεημονίστατε Πάτερ, διὰ Ἰησοῦ Χρις̃ τοῦ Μεσίτε κ̀ Λυτρωτοῦ ἡμῶν. Ἀμήν.

Ἡ χάρις τ̃ Κυρίε ἡμῶν Ἰησοῦ Χρις̃, κ̀ ἡ ἀγάπη τ̃ Θεοῦ, κ̀ ἡ κοινωνία τ̃ ἁγίε Πνεύματ μ̃ πάντων ὑμῶν. Ἀμήν.

ΕΥΧΑΡΙΣΤΙΑ ΤΩΝ ΓΥΝΑΙΚΩΝ ΜΕΤΑ ΛΟΧΕΙΑΝ.

¶ Ἡ Γυνὴ τ̃ σωθῇ χρόνε μ̃ τὴν λοχείαν εἰς τὸν Ἐκκλησίαν παραγινέσθ κοσμίως ἱματισμένη, κἀκεῖ γονυπετήσασα ἐν τόπῳ πρεσήκοντι κ̀ τὸ εἰωθὸς, ἢ ὡς ἂν ὁ Διατάκτης ἐρήσῃ. Εἶτα ὁ Ἱερεὺς αὐτ̃ ἐρεῖ,

Ἐγειρὴ δόξῃ τ̃ Θεοῦ Παντοκράτορι ἐκ τῆς ἀγαθότητ̃ αὐτοῦ τὸν ἀσφαλῆ λοχείαν σοι δοῦναι, κ̀ ἐν τ̃ μεγάλῃ τῆς τεκνογονίας κινδύνῳ σε διαφυλάξαι, τοιγαροῦν ἐκ καρδίας εὐχαριστήσῃς τ̃ Θεῷ, κ̀ ἐρεῖς,

(¶ Εἶτα ὁ Ἱερεὺς λέξει τ̃ ρις' Ψαλμόν.)

Ἠγάπησα ὅτι εἰσακούσῃ Κύριος τῆς φωνῆς τ̃ δεήσεώς μου.

Ὅτι ἔκλινε τὸ οὖς αὐτοῦ ἐμοὶ, κ̀ ἐν τ̃ ἡμέραις μου ἐπικαλέσομαι.

Περι-

Περίσχες με ἀδίκως θανάτου, κἀγὼ σωθήσομαι· ἄδικα γὰρ ἐμίσησάν με· θλῖψιν καὶ ὀδύνην εὗρον.

Καὶ τὸ Ὄνομα Κυρίου ἐπεκαλεσάμην· Ὦ Κύριε ῥῦσαι τὴν ψυχήν μου.

Ἐλεήμων ὁ Κύριος καὶ δίκαιος, καὶ ὁ Θεὸς ἡμῶν ἐλεᾷ.

Φυλάσσων τὰ νήπια ὁ Κύριος, ἐταπεινώθην καὶ ἔσωσέ με.

Ἐπίστρεφον ἡ ψυχή μου εἰς τὴν ἀνάπαυσίν σου, ὅτι Κύριος εὐηργέτησέ σε.

Ὅτι ἐξείλετο τὴν ψυχήν μου ἐκ θανάτου, τοὺς ὀφθαλμούς μου ἀπὸ δακρύων, καὶ τοὺς πόδας μου ἀπὸ ὀλισθήματος.

Εὐαρεστήσω ἐνώπιον Κυρίου ἐν χώρᾳ ζώντων. Ἀλληλούϊα.

Ἐπίστευσα, διὸ ἐλάλησα, ἐγὼ δὲ ἐταπεινώθην σφόδρα.

Ἐγὼ δὲ εἶπα ἐν τῇ ἐκστάσει μου, πᾶς ἄνθρωπος ψεύστης.

Τί ἀνταποδώσω τῷ Κυρίῳ περὶ πάντων ὧν ἀνταπέδωκέ μοι;

Τὸ ποτήριον τῶν σωτηρίων λήψομαι, καὶ τὸ Ὄνομα Κυρίου ἐπικαλέσομαι.

Τὰς εὐχάς μου τῷ Κυρίῳ ἀποδώσω ἐναντίον παντὸς τοῦ λαοῦ αὐτοῦ· ἐν αὐλαῖς οἴκου Κυρίου, ἐν μέσῳ σου Ἱερουσαλήμ. Ἀλληλούϊα.

Δόξα Πατρὶ, καὶ Υἱῷ, καὶ Πνεύματι ἁγίῳ.

Ὡς ἦν ἐν ἀρχῇ, καὶ νῦν, καὶ ἀεὶ ἔστιν εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

¶ Ἡ τῶ Ψαλμῶ τοῦτο.

Ἐὰν μὴ Κύριος. Ψαλμὸς ΡΚΖ'.

Ἐὰν μὴ Κύριος οἰκοδομήσῃ οἶκον, εἰς μάτην ἐκοπίασαν οἱ οἰκοδομοῦντες.

Ἐὰν μὴ Κύριος φυλάξῃ πόλιν, εἰς μάτην ἠγρύπνησεν ὁ φυλάσσων.

Εἰς μάτην ὑμῖν ἐστὶ τὸ ὀρθρίζειν· ἐγείρεσθε μετὰ τὸ καθῆσθαι, οἱ ἐσθίοντες ἄρτον ὀδύνης, ὅταν δῷ τοῖς ἀγαπητοῖς αὐτοῦ ὕπνον.

Ἰδοὺ ἡ κληρονομία Κυρίου υἱοί, ὁ μισθὸς τοῦ καρποῦ τῆς γαστρός.

Ὡσεὶ βέλη ἐν χειρὶ δυνατοῦ, οὕτως οἱ υἱοὶ τῶν ἐκτιναγμάτων.

Μακάριος ὃς πληρώσει τὸν ὀδυμὸν αὐτοῦ ἐξ αὐτῶν· οὐ καταισχυνθήσονται ὅταν λαλῶσι τοῖς ἐχθροῖς αὐτῶν ἐν πύλαις.

Δόξα Πατρὶ καὶ Υἱῷ, καὶ Πνεύματι ἁγίῳ.

Ὡς ἦν ἐν ἀρχῇ καὶ νῦν, καὶ ἀεὶ ἔστιν εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

¶ Τότε ὁ Ἱερεὺς λέγει.

Δι' εὐχῶν.

Κύριε ἐλέησον.

Χριστὲ ἐλέησον.

Κύριε ἐλέησον.

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ Ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου· γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον· καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ· Ὅτι σοῦ ἐστιν ἡ βασιλεία, καὶ ἡ δύναμις καὶ ἡ δόξα εἰς τοὺς αἰῶνας τοῦ αἰῶνος. Ἀμήν.

Λειτουρ-

Λειτυργός.

Σῶσον Κύριε ταύτην τὴν γυναῖκα τὴν δούλην σε.

Ἀπόκρισις.

Τὴν ἐλπίσασαν ἐπὶ σέ.

Λειτυργός.

Γίνου αὐτῇ πύργος τῆς ἰσχύος.

Ἀπόκρισις.

Ἀπὸ προσώπου τοῦ ἐχθροῦ.

Λειτυργός

Κύριε εἰσάκουσον τῆς προσευχῆς ἡμῶν.

Ἀπόκρισις.

Καὶ ἡ κραυγὴ ἡμῶν πρὸς σε ἐλθέτω.

Λειτυργός.

Διακῦμεν.

ΠΑντεπιχάρτα Κύριε, καὶ πληροφορίας σοι ἐνχαριστοῦμεν ὅτι ταύτην τὴν γυναῖκα τὴν δούλην σε μεγάλων τῆς λοχείας ὠδίνων καὶ κινδύνων ἀπαλλάξαι ἠξίωσας· χάρισαι, ἀντικολλῶμένην σε, ἐλεημονέστατε Πάτερ, ἵνα τῇ τε βοηθείᾳ σε πιστῶς ζήσῃ, καὶ τὸ θέλημά σου ἐν τῇ παρούσῃ βιοτῇ ποιήσασα, ὑπὸ σῆς καὶ ἁγνῆς δόξης μετάσχῃ ἐν τῇ μέλλοντι, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

¶ Ἡ Γυνὴ ἐλθοῦσα εἰς τὰ τίνειν τὰ χαριστήρια αὐτῆς. τὰς συνήθεις εὐχὰς ποιείτω ἐπὶ τῇ εἰσόδῳ τοῦ ναοῦ, καὶ ἐὰν ἡ Συνάξις ᾖ, συμφέρει αὐτῇ τῆς ἁγίας Συνάξεως μεταλαβεῖν.

ΑΠΕΙΛΗ, ἤγουν Καταγγελία τῆς ὀργῆς καὶ τῆς κεμάτων τοῦ Θεοῦ καὶ τῆς ἁμαρτωλῶν μετὰ πόνων Εὐχῶν, ἃς χρηστέον ἐν τῇ πρώτῃ ἡμέρᾳ τῆς Τεσσαρακοστῆς, ἢ καὶ ἄλλοις ποτὲ καιροῖς, ὡς ἂν ὁ Διατάκτης ὑποδείξει.

¶ Μετὰ τὰς Ἑωθινὰς Εὐχὰς, πολυέλεος καὶ σωθῇ πρόσωπον τῆς Λιτανείας, ὁ Ἱερεὺς ἐν τῷ Ἀναγνωστηρίῳ ἢ ἐν τῷ Ἄμβωνι ἱερεῖ.

ΕΝ τῇ ἀρχαίᾳ Ἐκκλησίᾳ (Ἀδελφοὶ) ὑπῆρχεν ἔθος ἡ τάξις, διὰ τὰς ἐνεστώσας, ὅπως ἀρχομένης τῆς Τεσσαρακοστῆς ὅσοι ἐφ' ἁμαρτίαις ἦσαν θανασίμοις ἁμαρτάνοντες, δημοσίᾳ ἐν μετανοίᾳ ὦσι, καὶ ἐν τῷ νεῷ αἰδῶνται παρρησίαν ἀντέχωσιν, ἵνα τῇ αὐτῶν ψυχαὶ ἀμπὸ σωθῶσιν ἐν ἡμέρᾳ τῆς Κυρίου, καὶ ἵνα οἱ ἄλλοι τῷ παραδείγματι αὐτῶν γενόμενοι πλημμελεῖν μᾶλλον φοβηθῶσι.

Ἀνθ' ὧν (ἵνα ἂν εἰς τὸ ἀρχαῖον ἀποκατασταθῇ ἡ περιφημισθεῖσα αὐτάκεια, (ὅπερ καὶ μάλα ἀναγκαῖον ἔστιν) διδόκται νῦν ὑμῖν ἀναγνωσθῆναι γραπτά τινα Γνωμίδια, παραίτησιν τῆς τοῦ Θεοῦ καταφορᾶς ἐπὶ τοῦ ἁμαρτάνοντας τῆς ἁμαρτωλῶν, ἐξ εἰκοσιτῶν καὶ ἑβδόμης Καφαλαίων τοῦ Δευτερονομίου, καὶ ἀπὸ λαχόντες τῆς ἁγίας Γραφῆς συν-

σωτηρια διάνοια, καὶ ὑμᾶς ἐν τῇ ἐκείνῃ τῇ γενεᾷ σωτηρίᾳ σωτηρίαν, Γένοιτο. Ἐφ' ᾧτε, τοιαύτας φθόγγους ἐκ τῆς μεγάλης τῆς Θεᾶς ὀργῆς κατὰ τῶν ἁμαρτωλῶν ὑπομιμνήσκοντες, εἰς τὸ ἐπὶ νῦν καὶ ἀληθινὴν μετάνοιαν μᾶλλον προτρεπῆτε,

καὶ ἐν ὀπτασιώσεσι ταύταις ἡμέραις ἀκριβέστερον περιπατῆτε, τοιαύτας φθόγγους τὰς καλίας, δι' ὧν τῷ Θεᾷ καταλέγει ὀφειλομένων ὑμῶν ὁμολογεῖτε.

Ἐπικατάρατος ἄνθρωπος ὅστις ποιήσει γλυπτὸν καὶ χωνευτόν, βδέλυγμα Κυρίῳ, ἔργον χειρῶν τεχνίτου, καὶ θήσει αὐτὸ ἐν ἀποκρύφῳ. Δευτ. κζ'. ις'.

¶ Καὶ ἀποκριθήσεται ὁ λαὸς, καὶ ἐρεῖ,

Γένοιτο.

Λειτουργός.

Ἐπικατάρατος ὁ ἀτιμάζων πατέρα αὐτοῦ, ἢ μητέρα αὐτοῦ. ις'.

Λαός.

Γένοιτο.

Λειτουργός.

Ἐπικατάρατος ὁ μετατιθεὶς ὅρια τοῦ πλησίον. ιζ'.

Λαός.

Γένοιτο.

Λειτουργός.

Ἐπικατάρατος ὁ πλανῶν τυφλὸν ἐν ὁδῷ. ιη'.

Λαός.

Γένοιτο.

Λειτουργός,

Ἐπικατάρατος ὃς ἂν ἐκκλίνῃ κρίσιν προσηλύτου, καὶ ὀρφανοῦ καὶ χήρας. ιθ'.

Λαός.

Γένοιτο.

Λειτουργός.

Ἐπικατάρατος ὁ τύπτων τὸν πλησίον αὐτοῦ. κ'.

Λαός.

Γένοιτο.

Λειτουργός.

Ἐπικατάρατος ὃς ἂν μοιχεύσηται γυναῖκα τοῦ πλησίον. Λευϊτ. κα'.

Λαός.

Γένοιτο.

Λειτουργός.

Ἐπικατάρατος ὃς ἂν λάβῃ δῶρα παθάξαι ψυχὴν αἵματος ἀθῴου. Δευτ. κζ'. κδ'.

Λαός.

Γένοιτο.

Λειτουργός.

Ἰβ. ιζ'. ε'. Ἐπικατάρατος ὁ ἄνθρωπος ὃς πεποιθὼς ἐπὶ ἄνθρωπον, καὶ σημείζει σάρκα βραχίονος αὐτοῦ ἐπ' αὐτὸν, καὶ ἀπὸ Κυρίου ἀποστῇ ἡ καρδία αὐτοῦ.

Λαός.

Γένοιτο.

Λειτουργός.

Ματθ. κε'. μα'. α' Κορ. ς'. Θ', ι'. Ἐπικατάρατοι οἱ ἀνελεήμονες, οἱ πόρνοι, καὶ μοιχοὶ, οἱ πλεονέκται, καὶ εἰδωλολάτραι, οἱ διάβολοι, οἱ μέθυσοι, καὶ οἱ ἅρπαγες.

Λαός.

Γένοιτο.

Λειτουργός.

Ψαλ. ριθ'. κε'. Ἐπειδήπερ ὅσοι ἐπικατάρατοι πάντες (καθὼς μαρτυρεῖ ὁ σοφώτατος Δαυίδ) οἱ ἐκκλίνοντες ἀπὸ τῶν ἐντολῶν τοῦ Θεοῦ· ἡμεῖς (μεμνημένοι τοῦ φοβεροῦ κρίματος τοῦ κεφαλαίου ἡμῶν ὁπόκρεμαμένου, καὶ ἐκφοβοῦντος ἡμῖν μονονουχὶ ὁπωσδήποτε) ὅπως φεύγωμεν ἀπὸ τὸ Κύριον ἡμῶν τὸ Θεῖον μὴ πάσης σωτηρίας καὶ ταπεινότητος τῆς καρδίας, κλαίοντες καὶ δριμύντες τὸν πονηρὸν βίον ἡμῶν, ὀδυνώμενοι, καὶ ἐξομολογούμενοι τὰς παραπτώματα ἡμῶν, καὶ ἀπεδάζοντες ποιεῖν καρποὺς ἀξίους τῆς μετανοίας.

Ματθ. γ'. ε'. Ἤδη γὰρ ἡ ἀξίνη πρὸς τὴν ῥίζαν τῶν δένδρων κεῖται, πᾶν οὖν δένδρον μὴ ποιοῦν καρπὸν καλὸν, ἐκκόπτεται καὶ εἰς πῦρ βάλλεται. Φοβερὸν τὸ ἐμπεσεῖν εἰς χεῖρας Θεοῦ ζῶντος. Ἐπεὶ ἐὰν ἁμαρτωλὸς παίδευσας, σὺ καὶ Θεὸν, καὶ πνεῦμα καθαιρόν. ἡ μερὶς τῶν ποτηρίων αὐτῶν. Ἰδοὺ γὰρ Κύριος ἀπὸ τοῦ ἁγίου αὐτοῦ τόπου ἐξέρχεται ἰδεῖν τὴν ὀργὴν ὅτι γῆν. Ἀλλὰ τίς ὑπομενεῖ ἡμέραν εἰσόδου αὐτοῦ; ἢ τίς ὑποστήσεται ἐν τῇ ὀπτασίᾳ αὐτοῦ; Οὐ τὸ πλοῦτος ἐν τῇ χειρὶ αὐτοῦ, καὶ ἐκκαθαριεῖ τὸν ἅλωνα αὐτοῦ, καὶ συνάξει τὸν σῖτον αὐτοῦ εἰς τὸν ἀποθήκην· τὸ δὲ ἄχυρον κατακαύσει πυρὶ ἀσβέστῳ. Ἡ ἡμέρα Κυρίου ὡς κλέπτης ἐν νυκτὶ, οὕτως ἔρχεται. Ὅταν γὰρ λέγωσιν, εἰρήνη καὶ ἀσφάλεια, τότε αἰφνίδιος αὐτοῖς ἐφίσταται ὄλεθρος, ὥσπερ ἡ ὠδὶν τῇ ἐν γαστρὶ ἐχούσῃ, καὶ οὐ μὴ ἐκφύγωσι. Τό τε φανεῖται ἡ ὀργὴ Θεοῦ ἐν ἡμέρᾳ τῆς κρίσεως, ἣν οἱ αὐθάδεις ἁμαρτωλοὶ κατὰ τὸν αὐτῶν σκληρότητα καὶ ἀμετανόητον καρδίαν ἑαυτοῖς θησαυρίσουσιν ἐν ταῖς, καὶ ἀφορήσαντες τὸν πλοῦτον τῆς χρηστότητος τοῦ,

τῶλος, ἡ τε ἀνοχῆς καὶ ἐ μακροθυμίας Θεοῦ ἐ εἰς
μετάνοιαν αὐτὸν ἀδιαλείπτως φερομένη.
Τότε ὁμοιωθήσεται μι (λέγει Κύριος) ἰγὼ Παροιμ. α'.
ἡ ὰκ εἰσακούσομαι, ζητήσουσί με κακοὶ, καὶ κη', κθ', λ'.
ὐχ ἱυρήσουσιν, ἐμίσησαν γὰρ σοφίαν, τὸν ἡ λόγον τῦ Κυρίυ ἐ προσείλοντο, ὐδὲ ἤθελον ἐ-
μοῖς προσέχειν βυλαῖς, ἐμυκτήριζον δὲ ἐμοὺς
ἐλέγχυς. Τότε ἡ ὀψὲ καὶ μετὰ ταῦτα ἐν κρίσει Ματθ. κε'.
τίς, ὅταν κλειωθῇ ἡ θύρα, ὀψὲ καὶ μετὰ ταῦτα ἐν ι', ια', ιϛ'.
ὁμοιωθήσεται τὸ ἴλεος, ὅταν ὁ καιρὸς ἡ τῆς
κρίσεως. Ὦ φρικτῆς τ φωνῆς τῦ κρίματος
δικαιοτάτυ, κατ' αὐτῶν ἀποφαινομένης μέλλον-
τος, ὅτι λοιδήσονται αὐτοῖς, Παράδειδε ἀπ' Ματθ. κε'.
ἐμᾶ οἱ κατηραμένοι εἰς τὸ πῦρ τὸ αἰώνιον, τὸ μα'.
ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις
αὐτῦ. Τοιγαροῦν, Ἀδελφοὶ, ἐν καιρῷ βλέπο- β' Κορ.
μεν ἵνα μὴ παραμείνῃ ἡμέρα σωτηρίας· ἤρξα- ϛ'. β'.
ντο γὰρ νῦξ, ὅτε οὐδεὶς δύναται ἐργάζεσθαι· ἔστε Ἰωαν. θ'.
ἡ τὸ φῶς ἔχωμεν, πιστεύωμεν εἰς τὸ φῶς, καὶ δ'.
υἱοὶ φωτὸς γενώμεθα εἰς τέκνα τῦ φωτός· ἵνα μὴ ιϛ'. λε',
βλεπόντων εἰς τὸ σκότος τὸ ἐξώτερον, ὅπου ἔσται λς'.
ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τ ὀδόντων. Μὴ οὖν Ματθ.
καθαιρώμεθα τῇ χρηστότητι τῦ Θεοῦ τῇ οἰκτιρ- κε'. λ'.
μένης ἡμᾶς εἰς μετάνοιαν καλούσῃ, καὶ ἐξ
ἀπροόπτυ ἐλπὶς ἀπὸ τῶν ἤδη παρωχημένων
συγκράμων ὑπαισχνηθῇ, ἐὰν τελεία καὶ ἀληθὴς
καρδία πρὸς αὐτὸν ὑπαρφαίνηται. Ἐὰν γὰρ Ἡσαΐ. α'.
ὦσιν αἱ ἁμαρτίαι ὑμῶν ὡς φοινικοῦν, ὡς χιὼν ιθ'.
λευκανθήσονται· ἐὰν ἦ ὦσιν ὡς κόκκινον, ὡς
ἔριον λευκανθήσονται. Ἐπιστράφητε (λέγει Κύ- Ἰεζεκ. ιη'.
ριος) καὶ ὑποστρέψατε ἀπὸ πασῶν τῶν ἀσεβειῶν λ', λα', λϛ'.
ὑμῶν, καὶ οὐ μὴ ὦσιν εἰς πρόσκομμα ὑμῖν ἀδικίαι.
Ἀπορρίψατε ἀφ' ἑαυτῶν πάσας τὰς ἀσεβείας
ὑμῶν, ἃς ἠσεβήσατε εἰς ἐμὲ, καὶ ποιήσατε ἑ-
αυτοῖς καρδίαν καινὴν, καὶ πνεῦμα καινόν· καὶ
ἵνατί ἀποθνήσκετε οἶκος Ἰσραήλ; Διότι οὐ
θέλω τ θάνατον τῦ ἀποθνήσκοντος, λέγει Κύ-
ριος, Ἐπιστράφητε οὖν καὶ ζήσεσθε. Κἂν ἁ- α' Ἰωαν.
μάρτωμεν, παράκλητον ἔχομεν πρὸς τ Πατέ- β'. α'.
ρα, Ἰησῦν Χριστὸν δίκαιον, καὶ αὐτὸς ἱλα-
σμός ἐστι περὶ τῶν ἁμαρτιῶν ἡμῶν. Αὐτὸς γὰρ Ἡσαΐ.
ἐτραυματίσθη διὰ τὰς ἁμαρτίας ἡμῶν, καὶ νγ'. ε'.
μεμαλάκισται διὰ τὰς ἀνομίας ἡμῶν. Ἐπι-
στρεφόμεθα οὖν εἰς αὐτὸν, τὸν ἱλεημένως ἅ-
παντας τοὺς ἁμαρτωλοὺς τοὺς ὄντως μετανοοῦ-
ντας δεδιηκόμενον· ἵνα τὸ πατεισμένον ἡμῶν αὐτὸν
ἱλαρὸν ἡτοιμον εἶναι ἡμᾶς προσδέχεται, καὶ

προθυμότατον συγχινάσκειν ἡμῖν, ἐὰν μετὰ πηξῆς μετανοίας προσερχώμεθα αὐτῷ, ἐὰν θελήσωμεν αὐτῷ ὑποτάσσεσθαι, καὶ τὸ δοκοῦν

Ματθ. ια'. κθ'. λ'. δὲ ἐν ταῖς ὁδοῖς αὐτοῦ πορεύεσθαι, ἐὰν ᾖ χρηστὸν αὐτοῦ ζυγὸν, καὶ τὸ ἐλαφρὸν αὐτοῦ φορτίον ἀραμεν, τῷ ἀκολουθεῖν αὐτῷ ἐν τῇ ταπεινοφροσύνῃ, ὑπομονῇ, καὶ ἀγάπῃ, τῇ τῶν ἁγίων Πνεύματος αὐτοῦ ἡγεμονίᾳ διοικουμένῃ, τὴν δέξαν αὐτοῦ ἀεὶ ζητοῦντες, καὶ ἐν τῇ κλήσει ἡμῶν μετὰ τῆς δικαιοσύνης ὄντως αὐτῷ λατρεύοντες. Ἐὰν δὲ τοῦτο ποιήσωμεν, ῥύσεται ἡμᾶς ὁ Κύριος ἴκ τε τῆς τοῦ νόμου κατάρας, καὶ τῆς ἐχάτης δίκης, ἣ ἐγκύπτει τοῖς ἐξ ἀνομιῶν,

Ματθ. κα'. λγ', λδ'. καὶ καθότι ἡμᾶς ἐκ δεξιῶν, καὶ τὴν ἀμεταχείριστον κληρονομίαν τοῦ Πατρὸς αὐτοῦ δίδοσιν ἡμῖν, καλέσαν ἡμᾶς τὴν βασιλείαν αὐτοῦ ἔνδοξον κληρονομεῖν, εἰς ἣν αὐτὸς ἀξιώσαι πάντας ἡμᾶς ἀναγαγεῖν, διὰ τὸ ἀπέραντον ἔλεος αὐτοῦ. Ἀμήν.

¶ Εἶτα πάντες γονυπετήσαντες, ὁ ἱερεὺς καὶ Κληρικοὶ γόνυ κλίνοντες (ὅπερ νομίζεται λίαν σεμνὸν καὶ λιτανεία) ἐξαγορεύσει τὸν δὲ Ψαλμὸν,

Ἐλέησόν με ὁ Θεός.
Ψαλ. να'.

ΕΛέησόν με ὁ Θεὸς, κατὰ τὸ μέγα ἔλεός Σου· καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν Σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπιπλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου, καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μου ἐστὶ διαπαντός.

Σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώπιόν Σου ἐποίησα· ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις Σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας Σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς με ἀγαλλίασιν, καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν Σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεὸς, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου Σου, καὶ τὸ Πνεῦμά Σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου Σου, καὶ Πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω

Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.

Ῥῦσαί με ἐξ αἱμάτων ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου, τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφοράν, καὶ ὁλοκαυτώματα· τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Δόξα Πατρὶ. } καὶ τοῖς ἁγίοις.
Ὡς ἦν ἐν ἀρχῇ. }

Κύριε ἐλέησον.

Χριστὲ ἐλέησον.

Κύριε ἐλέησον.

ΠΑτὴρ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, Ἁγιασθήτω τὸ Ὄνομά σου· Ἐλθέτω ἡ βασιλεία σου· Γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς· Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον· Καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, Ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ. Ἀμήν.

Λειτουργός.

Σῶσον Κύριε τὸν λαόν σου.

Ἀπόκρισις.

Τοὺς ἐλπίζοντας ἐπὶ σέ.

Λειτουργός.

Ἐξαπόστειλαι αὐτοῖς βοήθειαν ἐξ ὑψους.

Ἀπόκρισις.

Καὶ διαπαντὸς ἐπέμπιων αὐτοὺς κραταιῶς.

Λειτουργός.

Βοήθησον ἡμῖν ὁ Θεὸς, ὁ Σωτὴρ ἡμῶν.

Ἀπόκρισις.

Ἕνεκεν τῆς δόξης τοῦ Ὀνόματός σου, Κύριε, ῥῦσαι ἡμᾶς· καὶ ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν ἕνεκεν τοῦ Ὀνόματός σου.

Λειτουργός.

Κύριε εἰσάκουσον τῆς προσευχῆς ἡμῶν.

Ἀπόκρισις.

Καὶ ἡ κραυγὴ ἡμῶν πρός σε ἐλθέτω.

Λειτουργός.

Διακωλύμεν.

ΠΛέως εἰσάκουσον, ἀντιλαβοῦ σου, Κύριε, τῆς προσευχῆς ἡμῶν, καὶ φεῖσαι πάντων τῶν τῆς ἁμαρτίας αὐτῷ ἐναντίον σου ἐξομολογουμένων· ὅπως ὦν τὰ σωτηρίου τοῦ τῆς ἁμαρτίας καθηγορεῖται, αὐτοὶ τοῦ τῆς ἐλεήμονος συγχαίρωμεν σου δουλοθῶσι, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

ΠΑντοδύναμε Θεὸς καὶ πολυέλεε Πάτερ, ὁ ὀδηγῶν πάντας τοὺς ἀνθρώπους ἀπολογιζόμενος, ὁ οὐ μισῶν οὐδὲν ὧν ἐδημιούργησας, ὁ

δὴ κ̀ μὴ βυλόμ(ε)νο(ν) ἢ θάνατον τῦ ἁμαρτωλῦ, ἀλ̀ ἵνα ἀποστρέψῃ ἀπὸ τῆς ἁμαρτίας αὐτ̀ κ̀ ζήσηται· οἰκτίρμονες σὺ γνωθι ἡμῖν τὰ παραπτώματα ἡμῶν, φεῖσθ(αι) κ̀ παρακλήθησαι ἡμᾶς διὰ λυτρωθέντες ὑπὸ Χ(ρισ)τ̃ ἁμαρτιῶν ἡμῶν. Ἰδιόν Σοί ὄζιν ἀεὶ ἐλεῆσαι, Σοὶ μόνῳ φοσήκῃ ἀφιέναι τὰς ἁμαρτίας· Φεῖσαι ἔν ἡμῶν, ἀγαθὲ Κύριε, φεῖσαι τῦ λαῦ Σ(ο)υ, ὃν ἐλυτρώσω· μὴ εἰσέλθῃς εἰς κρίσιν μ(ε)τ̀ σ(ο)ῦ δούλων Σ(ο)υ, φαύλης γῆς, καὶ ἀθλίαν ὄλων ἁμαρτωλῶν. Ἀλλ̀ ἔτω τὼ ὀργὼ Σ(ο)υ ἀποστρέψῃς ἀφ̀ ἡμῶν, τὼ φαυλότητα ἡμῶν ταπεινῶς ὁμολογόντων, καὶ ὅτι τοῖς πλημμελήμασιν ἡμῶν ἀληθῶς μετανοόντων, καὶ ἔτως εἰς τὸ βοηθῆσαι ἡμῖν παρέχες ἐν τῷ νῶ σ(ο)ῦ, ὅπως Σοὶ διαπαντὸς συζήσωμεν ἐν τῷ μέλοντι, διὰ Ἰησῦ Χριστῦ τῦ Κυρίυ ἡμῶν. Ἀμὼ.

¶ Τότε ὁ λαὸς μ(ε)τ̀ τ̀ Ἱερέα τῦτο τὸ ὑπόμνον ἐρεῖ.

Ἐπίστρεψον ἡμᾶς Θεὸς ὁ Κύριος, κ̀ ὑπόσχου ἐφ̀ ἡμᾶς· Ἱλάσθητι Κύριε, ἱλάσθητι τῷ λαῷ Σ(ο)υ, τῷ ὑπόσχου φόβ σ(ο)υ κλαυθμῷ, νησείᾳ, κ̀ ἐξομολογῇ. Σὺ γὰρ ἱλεήμων ὁ Θεὸς, οἰκτίρμων, μακροθυμ(ε)ῖ κ̀ πολυέλεος. Σύ φείσῃ ὅτι ἡμεῖς ἄξιοί ἐσμεν τιμωρίας, κ̀ ἐν ὀργῇ Σ(ο)υ μιμήσῃ τῦ ἐλέυς· Φεῖσαι, ἀγαθὲ Κύριε, φεῖσαι τῦ λαῦ Σ(ο)υ, καὶ μὴ δῷς τὼ κληρονομίαν Σ(ο)υ εἰς ὄνειδ(ο)ς. Ἐστόκησον ἡμῶν, Κύριε, ὅτι τὸ ἔλεός Σ(ο)υ μέγα ὄζι, κ̀ κ̀τ̀ τὸ πλῆθ(ο)ς τ̀ οἰκτιρμῶν σ(ο)υ ἔπιδε ἡμᾶς διὰ τῆς ἀξίας κ̀ εὐτυξίας τῦ ὐλογητῦ Τιῦ Σ(ο)υ Ἰησῦ Χριστῦ τῦ Κυρίυ ἡμῶν. Ἀμὼ.

¶ Τότε ὁ Λειτυργὸς μόν(ο)ς ἐρεῖ,

Ἐυλογήσαι ὑμᾶς Κύρι(ο)ς, κ̀ φυλάξαι ὑμᾶς· Ἐπιφάναι Κύρι(ο)ς τὸ πρόσωπον αὐτῦ ἐφ̀ ὑμᾶς, κ̀ δῴη ὑμῖν εἰρήνην νῦν κ̀ εἰς τὸν αἰῶνας. Ἀμὼ.

Δόξα τῷ Θεῷ.